P A Ptc M A pl (ειμι = were)
1 Καὶ ὑμᾶς ὄντας

M A pl (dead) N D pl (tresspasses) F D pl (sin)
νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς ἁμαρτίαις ὑμῶν,

A A I 2 pl (you walked) (ruler)
2 ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς
(power) (spirit) P A Ptc N G sg (working)
ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας·

M N pl (all) (flesh)
3 ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ
(nature) F G sg (wrath)
θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἤμεθα τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί·

(But) (because) A A I 3 sg (he loved)
4 ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς,

(dead) (trespasses) A A I 3 sg (he/God made alive) (grace)
5 καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν συνεζωοποίησεν τῷ Χριστῷ, - χάριτί ἐστε
σεσῳσμένοι -

A A I 3 sg (he raised)
6 καὶ συνήγειρεν καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ,

(in order that)
7 ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις τὸ ὑπερβάλλον πλοῦτος τῆς χάριτος αὐτοῦ ἐν
(upon/toward)
χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ.

(For) P P Ptc M N pl (have been saved) (through faith)
8 τῇ γὰρ χάριτί ἐστε σεσῳσμένοι διὰ πίστεως·
(not of your own doing)
καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, θεοῦ τὸ δῶρον·

N G pl (works)
9 οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

N N sg (work)
10 αὐτοῦ γάρ ἐσμεν ποίημα,
P A Ptc M N pl (created) A A I 3 sg (he prepared beforehand)
κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς οἷς προητοίμασεν ὁ θεὸς ἵνα ἐν αὐτοῖς
περιπατήσωμεν.